ἢ ἀκριβεστέρας, ἢ ἁπλουστέρας· ἀλλὰ πᾶσαι αὗται περὶ ἕν τι, καὶ γένος τι περιγραψάμεναι, περὶ τούτου πραγματεύονται, ἀλλ' οὐχὶ περὶ ὄντος ἁπλῶς, οὐδὲ ᾗ ὄν, οὐδὲ τοῦ τί ἐστιν οὐδένα λόγον ποιοῦνται· ἀλλ' ἐκ τούτου, αἱ μὲν αἰσθήσει ποιήσασαι αὐτὸ δῆλον, αἱ δ' ὑπόθεσιν λαβοῦσαι τὸ τί ἐστιν, οὕτω τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ γένει περὶ ὅ εἰσιν, ἀποδεικνύουσιν ἢ ἀναγκαιότερον ἢ μαλακώτερον. διόπερ φανερὸν ὅτι οὐκ ἔστιν ἀπόδειξις οὐσίας, οὐδὲ τοῦ τί ἐστιν ἐκ τῆς τοιαύτης ἐπαγωγῆς, ἀλλά τις ἄλλος τρόπος τῆς δηλώσεως. ὁμοίως δὲ οὐδ' εἰ ἔστιν ἢ μὴ ἔστι τὸ γένος περὶ ὃ πραγματεύονται, οὐδὲν λέγουσι, διὰ τὸ τῆς αὐτῆς εἶναι διανοίας, τό, τε τί ἐστι δῆλον ποιεῖν, καὶ εἰ ἔστι τοῦτο. ἐπεὶ δὲ καὶ ἡ φυσικὴ ἐπιστήμη τυγχάνει οὖσα περὶ γένος τι τοῦ ὄντος, (περὶ γὰρ τὴν τοιαύτην ἐστὶν οὐσίαν ἐν ᾗ ἡ ἀρχὴ τῆς κινήσεως καὶ στάσεως ἐν αὐτῇ) δῆλον ὅτι οὔτε πρακτική ἐστιν οὔτε ποιητική. τῶν μὲν γὰρ ποιητικῶν ἐν τῷ ποιοῦντι ἡ ἀρχή, ἢ νοῦς ἐστιν, ἢ τέχνη, ἢ δύναμίς τις· τῶν δὲ πρακτικῶν, ἐν τῷ πράττοντι ἡ προαίρεσις. τὸ αὐτὸ γὰρ τὸ πρακτὸν καὶ τὸ προαιρετόν. ὥστε εἰ πᾶσα διάνοια ἢ πρακτική, ἢ ποιητική, ἢ θεωρητική, ἡ φυσικὴ θεωρητική τις ἂν εἴη, ἀλλὰ θεωρητικὴ περὶ τοιοῦτον ὄν, ὅ ἐστι δυνατὸν κινεῖσθαι, καὶ περὶ οὐσίαν τὴν κατὰ τὸν λόγον, ὡς ἐπὶ τὸ πολύ, οὐ χωριστὴν μόνον. δεῖ δὲ τὸ τί ἦν εἶναι, καὶ τὸν λόγον πῶς ἐστι, μὴ λανθάνειν. ὡς ἄνευ γε τούτου τὸ ζητεῖν, μηδὲν ποιεῖν ἐστι. τῶν δὴ ὁριζομένων, καὶ τῶν τί ἐστι, τὰ μὲν οὕτως ὑπάρχει ὡς τὸ σιμόν, τὰ δ' ὡς τὸ κοῖλον. διαφέρει δὲ ταῦτα, ὅτι τὸ μὲν σιμὸν συνειλημμένον ἐστὶ μετὰ τῆς ὕλης. ἔστι γὰρ τὸ μὲν σιμὸν κοίλη ῥίς· ἡ δὲ κοιλότης ἄνευ ὕλης αἰσθητῆς. εἰ δὴ πάντα τὰ φυσικὰ ὁμοίως τῷ σιμῷ λέγονται, οἷον ῥίς, ὀφθαλμός, πρόσωπον, σάρξ, ὀστοῦν, ὅλως ζῷον, φύλλον, ῥίζα, φλοιός, ὅλως φυτόν (οὐδενὸς γὰρ ἄνευ κινήσεως ὁ λόγος αὐτῶν, ἀλλ' ἀεὶ ἔχει ὕλην) δῆλον πῶς δεῖ ἐν τοῖς φυσικοῖς τὸ τί ἐστι ζητεῖν καὶ ὁρίζεσθαι, καὶ διότι καὶ περὶ ψυχῆς ἐνίας θεωρῆσαι τοῦ φυσικοῦ, ὅση μὴ ἄνευ τῆς ὕλης ἐστίν. ὅτι μὲν οὖν ἡ φυσικὴ θεωρητική ἐστι, φανερὸν ἐκ τούτων. ἀλλ' ἔστι καὶ ἡ μαθηματικὴ θεωρητική· ἀλλ' εἰ ἀκινήτων καὶ χωριστῶν ἐστι, νῦν ἄδηλον. ὅτι μέντοι ἔνια μαθήματα ᾗ ἀκίνητα καὶ ᾗ χωριστὰ θεωρεῖ, δῆλον.

A & principia, aut certiora, aut simpliciora est. Attamen hæ omnes circa vnum quid, & quoddam genus circumscribentes, de eo tractant, sed non de ente simpliciter, nec prout ens est, neque ipsius quid est vllam rationem faciunt: sed ex hoc, quædam sensu illud manifestum facientes, quædam suppositione ipsum quid est accipientes, consequenter ea, quæ per se generi insunt, circa quod sunt, aut magis ne B cessariò, aut debiliùs demonstrant. Quare manifestum est, non esse demonstrationem substantiæ ipsiúsve quid est ex ipsa inductione, sed alium aliquem manifestationis modum. Similiter autem nec si est, aut non est genus, circa quod tractant, quicquam dicunt, eo quòd eiusdem intelligentiæ est, & ipsum quid est manifestare, & si est hoc. Cùm autem physica etiam circa quoddam entis genus scientia sit, (etenim circa talem substantiam est in C qua principium est motus, & status, qui in ea est) patet, quòd nec actiua, nec factiua est. Factiuarum etenim in faciente principium est, aut intellectus, aut ars, aut aliqua potentia: actiuarum verò, in agente electio. idem enim agibile, & eligibile. Quare si omnis intellectus, aut actiuus, aut factiuus, aut speculatiuus est, physica speculatiua quædam profectò est, sed speculatiua circa tale ens, quod possibile mo- D ueri, & circa substantiam secundum rationem vt plurimùm inseparabilem, solùm est. Oportet autem, vt nõ lateat, quomodo ipsum quid erat esse, & ratio sit. nã absque hoc quærere, nihil est facere. Sed definitorum igitur, & ipsorum quid est, quędam quidem ita sunt, vt ipsum simum: quædam, vt ipsum concauum. Differunt autem hæc, quoniam simum quidem vnà acceptum est cum materia. Est enim simum, concauus nasus: concauitas verò E absque materia sensibili. Si cuncta igitur physica ita vt simum dicuntur, vt nasus, oculus, facies, caro, os, & omnino animal, folium, radix, cortex, omnino planta, (nullius enim eorum ratio absque motu, sed semper habet materiam) manifestum est, quomodo in Physicis oportet ipsum quid est quærere, & definire, & cur etiam de quadam anima speculari, physici est, quæ- F cunque non sine materia. Quòd igitur physica speculatiua est, ex his patet. Sed & mathematica speculatiua est. Verùm si immobilium, & separabilium, adhuc non est manifestum: quòd autem aliqua mathematica, prout immobilia, & prout separabilia sunt, speculatur, dilucidum est: